Ἀγαθῇ τύχῃ. | Ψήφισμα τῶν ἀπὸ τῆς οἰκουμένης περὶ | τὸν Διόνυσον καὶ Αὐτοκράτορα Τρα|ιανὸν Ἁδριανὸν Σεβαστὸν Καίσαρα, ‖ νέον Διόνυσον, τεχνειτῶν ἱερο νε[ι]κῶν στεφανειτῶν καὶ τ[ῶ]ν τούτ[ω]ν [συν]|αγωνιστῶν καὶ τῶν νεμόντων τὴν ἱερὰν | θυμελικὴν σύνοδον[1]. Ἐπειδὴ προτα[χ]|θεὶς ὑπὸ τῆς ἱερωτάτης βουλῆς Οὔλπιος ‖ Αἴλιος Πομπ[η]ιανὸς, ἀγωνοθετήσας τὸν ἀ|γῶνα τ[ὸ]ν μυστικὸν, δοθέντα ὑπὸ τοῦ αὐ|τοκράτορος ἐν ὀλίγαις τῇ πόλει τῇ τε χει|ροτονίᾳ ταχέως ὑπήκουσεν καὶ τὸν ἀγῶ|να διαφανῶς ἐπετέλεσεν ἐκ τῶν ἑαυτο[ῦ], ‖ μηδεμιᾶς ἀπολειφθεὶς λαμπρότητος καὶ μεγα|λοψυχίας, ἅμα τήν τε εὐσέβειαν τῆς πατρίδος | εἰς ἀμφοτέρους τοὺς θεοὺς ἐπεψήφισεν | καὶ τὰς ἐπιδόσεις πάσας δὲ ἀ[φ]ειδῶς ἐποιήσα|το, πρὸς μηδεμίαν δαπάνην ἀναδὺς καὶ τῷ τε ‖ τάχει τῆς σπουδῆς ὁδεύοντας ἤδη τοὺς ἀγωνι|στὰς ἀνεκαλέσατο καὶ παντὶ μέρει τοῦ μυστηρί|ου.....

1. Sub Hadriano ex omnibus scenicorum collegiis unum conflatum esse notum est, quod, Bacchi et imperatoris patrocinio consecratum, non uni provinciae addictum erat sed totum terrarum orbem amplectebatur. Cf. Foucart, *De collegiis scenicor. artific.*, p. 93 et seqq.

---

210. Ancyrae. — Mordtmann, *Marmora Ancyrana*, p. 8. Cf. Kirchhoff, *Annali*, XXXIII (1861), p. 183, n. 18.

[Ψή]φισμα τῆς ἱερᾶ[ς | μουσι]κῆς συνόδου τ[ῆς] | περὶ τὸν Διό[νυσον | καὶ] Τραιανὸν Ἁδρια[νὸν ‖ νέ]ον Διόνυσον [τ]ε[χ]νειτῶν | ἱερονεικῶν στ]εφανε[ιτῶ]ν καὶ συναγων|ιστῶν ἀγῶνος ....ου ἐν τῇ Κλαυδ[ι]ουπόλει?, | ἀγων]οθετοῦντος Ἀλα...| .., [εἰσ]ηγησαμένου ‖ Μι[λ]τιά[δ]ου κωμ[ῳ]δοῦ ἀν..|.. [σε]βαστονείκου, ἐ[πιψηφισα|μέν]ου Ἰουλίου Σκιρτ[ῶντ]|ος χοροκιθαρ[ῳδοῦ | πλ]ειστονείκου .....εαλων.. [στεφάνῳ] ‖ κισ[σ]οῦ κατ[ὰ τὸν νόμο]ν?, | ἀρε[τῆς ἕνεκα | καὶ σωφροσύ]νη[ς].

---

211. Ancyrae. — Domaszewski, *Arch. epigr. Mittheil.*, IX (1885), p. 124, n. 85.

Ἀγαθῆι τύχηι. | Οἱ ἀπὸ τῆς οἰκου|μένης περὶ τὸν Δι|όνυσον καὶ Αὐτο‖κράτορα Τραιανὸν Ἁδριανὸν Καί|σαρα Σεβαστὸν τε|χνεῖται ἱερονεῖ|και στεφανεῖται καὶ οἱ τούτων συν‖αγωνισταὶ Οὔλπιον Αἴλιον Πομπηιανὸν[1] | τὸν Ἑλλαδάρχην κα[ὶ] ἀρ|χι[ερ]έα ἀνέστησαν | Τύχηι ἀγαθῆι.

1. De eo cf. titulum nostrum n. 202.

212. Ancyrae. — Perrot, *Explor. de la Bithynie*, n. 143.

Λ. Ἀντώνιος | Λόνγος οὐε|τερανὸς κὲ | Παυλῖνα γυ‖νὴ αὐτοῦ τοῖς | παράγουσι | χαίρειν.

---

213. Ancyrae. — *C. I. L.*, III, 6762.

D. [M.] | Aur. Ca[llisthe]|ne, ueter[ano] | leg. V. Ma[ced.], ‖ Aur. Vale[nti]|na coiunx [et] | Aurel. Va[leria] | et Valent[ina] | filiae her[edes] ‖ fecer. |

Αὐρ. Καλλισθ[ένει πά]|λαι στρατιώτῃ [λεγ(εῶνος) ε'] | Μακεδονικῆ[ς, Αὐρη]λία | Οὐαλεντίνα σ[ύμβιος] ‖ καὶ Αὐρηλία Οὐ[αλερία] | καὶ Οὐαλεντίν[α θυγατέρες] | [κλ]ηρονό[μοι].

---

214. Ancyrae. — Domaszewski, *Arch. epigr. Mittheil.*, IX (1885), p. 114, n. 66.

[Α]ὐρήλιος | [Μ]ιθριδατικὸς | ἑκατόνταρχος λεγίονος γ' | Γαλλικῆς [1], ‖ Ἀλεξάνδρᾳ | τῇ ἰδίᾳ γυναικὶ, | εὐνοίας | καὶ μνήμης | χάριν.

1. Legionem III Gallicam in Syria tetendisse notum est.

---

215. Ancyrae. — Walenta, *Athen. Mittheil.*, XXI (1896), p. 466, n. 1.

Θεοῖ[ς καταχθονίοις] | ... Αἰλία.... | Π. Αἰλίῳ..... | Περγαμηνῷ ἐπιδόξωι [σουμ]‖μαρούδῃ [1], κολλήγιον ἔχο[ν]|τι ἐν Ῥώμῃ τῶν σουμμαρούδ[ων] [2], | ἰδίῳ ἀνδρὶ χρηστῶς μοι σ[υμ]|βιώσαντι, μνήμης χάριν, | ζήσαντι ἔτη λζ' · ‖ καὶ πολείτης πόλεων τῶν [ὑπο]|τεταγμένων · | Θεσσαλο[νείκης], | Νεικομηδ[ί]ας |, ‖ Λαρίσης, ‖ Φιλιπποπ ό[λεως, | Ἄπρου?, | Βέργ[ης [3], | Θάσσου, ‖ Κυζ[ίκου |
.... νω... | [Ἀ]βδ[ήρων?] |

Ταύτην τὴν στήλην παριών, | φίλε, χαῖρε καὶ ἔνπης ‖
γει[γνώ]σκων σουμμαρούδην [κεί]μενον ἐν δαπέδῳ |

.... ησκον αμυν.. | .... ριστον ..... | αὐτὸς ἐδω.......... | ριστος ἐγεν... ‖ ... ν..... | θεν αρωσα..... | υς.... | ὥστε καὶ α..... | ..... αρψε... ‖ πληγει......... | ... εγυνηκα.... | .. πωδως .... | ρης μνημο... ‖ .. ν...

1. Gladiator summa rudis. Cf. G. Lafaye, s. v. *Gladiator* apud Saglio, *Dict. des ant.*, p. 1590, col. 2, et titulum Mylaseum apud Hula et Szanto, *Sitzungsber. der Akad. in*

Wien, CXXXII (1895), p. 17, 12 : Λούκιος Βετώνιος 'Αλέξανδρος σουμμαρούδης. — 2. Cf. *Bull. de corr. hellén.*, IX (1885), p. 128, v. 35 « τό τε κολλήγιον καλούμενον ἐκ τῶν αὐτοῦ πολειτῶν ἐν τῇ βασιλευούσῃ 'Ρωμαίων πόλει συστησάμενος ». — 3. Berga, urbs Macedoniae.

216. Ancyrae. — *C. I. L.*, III, 277.

C. Salvius Gal[eria] Caen.....

Λ. Σάλουιος Οὐάλης ἐπ......

217. Ancyrae. — *C. I. L.*, III, 6768.

Dis M[a]nibus, | Amytidi | P. Statilius Moe|sicus conjugi ‖ sanctae [1] et erga [2] | se piae m(emoriae) gra[3](tia) l(ibens) a(nimo) m(emoriam) p(osuit) |.

Θεοῖς καταχθονί|οις. 'Αμύτιδι [4] Π. ‖ Στατείλιος Μυσικ(ὸς) | συμβίῳ γλυκυτάτῃ [5] | κ(αὶ) περὶ ἑαυτὸν [6] εὐσε|βοῦς [7] μνήμης | χάριν · ‖ ὑγίαινε · κ(αὶ) σύ.

Faber utrumque titulum male corrupit.

1. SANCΓAE. — 2. EBOA. — 3. CRA. — 4. AMYTIAI. — 5. IAYKYTATH. — 6. ЄAYΠN. — 7. EYIЄBOVЄ pro εὐσεβεῖ.

218. Ancyrae. — *C. I. Gr.*, 4077.

Φλαουίῳ Σαβεί|νῳ, γένει Νεικο|μηδεῖ, ἡ θυγάτηρ | τὴν στήλλην ‖ μνείας χάριν. | Ὃς ἂν δὲ σκυλῇ τὸ | μνῆμα δώσει εἰς | τὸν φίσκον ✱ β' [1].

1. Cf. alium titulum, Ancyrae repertum (*Arch. epigr. Mittheil.*, IX, 1885, p. 124, n. 84) : ἐὰν δέ τις τολμήσει τῷ ταμείῳ δώσει | δηνάρια μύρια πεντακισχίλια.

219. Inter Ancyram et Amisum. — Domaszewski, *Arch. epigr. Mittheil.*, IX (1885), p. 131, n. 101.

Π. Συλπί|κιος Γε|ρμανὸς | Νετραν‖ὸς ἐνθάδε κεῖ|ται.

220. Inter rudera vici cujusdam diruti, una et semi hora a loco dicto Kara-eyuk

inter septentrionem et occidentem. — Anderson, *Journal of hellen. studies,* XIX (1899), p. 91, n. 72.

Ab una parte :

Θεοῖς | καταχθον[ίοις] | καὶ Αἰλ. Συμφ[εροῦ]|σηι τῆι σώφρονι ‖ καὶ φιλοτέκ[νωι] | Αἴλιος Αὐκ[τιανὸς] | φιλοστοργίας | καὶ μνήμης ἕνεκεν.

Ab altera parte :

Μετέ[σ]τη εἰς τὸ χρεὼν [1], | Μ. Γαουίῳ Ὀ[ρ]φίτῳ καὶ | Γ. Ἀρρίῳ Πούδεντι ὑπά|τοις, πρὸ ιζʹ καλ(ανδῶν) Ἰουνί‖ων [2].

1. Obiit fatum, mortem fatalem. Cf. Plut. *Consol. ad Apollon.*, 34, p. 119 D : « Νέοι μετέστησαν πρὸς τὸ χρεών ». — 2. A. d. 17 Kal. Jun. = die 16 Maii anni 165 p. C. n.

---

221. Germae. — Ramsay, *Bull. de corr. hellén.*, VII (1883), p. 23, n. 12.

..... λο[γ]ισάμε[νος.... | τ]ῳ ἀντιστρατηγῷ [1] ... | παραδοὺς ἐνθάδε κ εῖται | Σωτήριχος ὁ τῆς με[γίστης?] .... ‖ μνήμης τῆς τε ἀρχ|..... | του... το δι ά - ταγμα..... ἐν|ταῦθα ε[ὐ]ξά[μ]εν[ος?

1. Ἀρχιστρατηγῷ, Ramsay; corr. Larfeld ap. Iwan v. Müller, *Jahresber. über die Alterthumswiss.*, LXVI (1892), p. 143; forsitan recte.

---

222. Sivri-Hissar prope Pessinuntem. — Ch. Michel, *Recueil d'inscriptions grecques* (1900), p. 58, n. 45 c.

Epistulae missae a regibus Pergamenorum Eumene II (197-159) et Attalo II (159-138) ad sacerdotem Pessinuntium, quarum unam, utpote rebus romanis non alienam, hic inserere satis erit.

Βασιλεὺς Ἄτταλος Ἄττιδι [1] ἱερεῖ χαίρει]ν. [Εἰ ἔρρωσαι, εὖ ἔχοι] | ἂν ὡς ἐγὼ βούλομαι, ὑγίαινον δὲ καὶ αὐτός. Ἐλθόντων ἡμῶν | εἰς Πέργαμον καὶ συναγαγόντος μου οὐ μόνον Ἀθήναιον [2] | καὶ Σώσανδρον [3] καὶ Μηνογένην ἀλλὰ καὶ ἑτέρους πλείο‖νας τῶν ἀναγκαίων καὶ προτιθέντος περὶ ὧν ἐν Ἀπαμείαι ἐ|βουλευόμεθα, λέγοντ[ό]ς τε περὶ ὧν ἔδοξεν ἡμῖν, πολλοὶ μὲν | ὑπεραγόντως ἐγίνοντο λόγοι, καὶ τὸ πρῶτον πάντες κατέρρε|πον ἐπὶ τὴν αὐτὴν ἡμῖν γνώμην · Χλωρὸς δ' εὐτονώτατος ἦν | τὰ Ῥωμαικὰ προτείνων καὶ οὐθενὶ τρόπωι συμβουλεύων οὐ‖θὲν ἄνευ κείνων πράσσειν. Ὧι τὸ μὲν πρῶτον ὀλίοι μετεῖ|χον, μετὰ δὲ ταῦτα

ἐν ἄλλαις καὶ ἄλλαις ἡμέραις ἀεὶ δι|ασκοποῦσιν ἥπτετο μᾶλλον ἡμῶν. Καὶ τὸ προπεσεῖν ἄ|νευ κείνων μέγαν ἐδόκει κίνδυνον ἔχειν, καὶ γὰρ ἐπιτυ|χοῦσιν φθόνον καὶ ἀφαίρεσιν καὶ ὑφοψίαν μοχθηράν, ἣν ‖ καὶ περὶ τοῦ ἀδελφοῦ [4] ἔσχοσαν, καὶ ἀποτυχοῦσιν ἄρσιν | πρόδηλον [5] · οὐ γὰρ ἐπιστραφήσεσθ[αι] [6] κείνους, ἀλλ' ἡδέως ὄψεσ|θαι ὅτι ἄνευ ἑαυτῶν τηλικαῦτ' ἐκινούμεθα · νῦν δ' ἐὰν καί, ὃ | μὴ γίνοιτ', ἐλασσωθῶμεν ἔν τισιν, μετὰ τῆς ἐκείνων | γνώμης ἕκαστα πεπραχότας βοηθείας τεύξεσθαι καὶ ἀ‖ναμαχεῖσθαι μετὰ τῆς τῶν θεῶν εὐνοίας. Ἔκρινον οὖν εἰς | μὲν τ[ὴ]ν Ῥώμην ἀεὶ πέμπειν τοὺς συνεχῶς ἀναγγελοῦν[|τας τὰ δισ]τ[α]ζόμενα [7], αὐτοὺς δὲ παρασκευάζεσθα[ι | ἡμᾶς ἐπιμελῶς, ὡς εἰ δέοι βοηθήσοντας ἑαυτο ῖς...

Hanc epistulam, ut et alias, illustravit Mommsen (*Röm. Geschichte,* II, ed. VII, p. 52). Inde docemur quid necessitudinis Pergamenorum reges cum Romanis eo tempore haberent. Quum Attidi sacerdoti insidiae ab hoste aliquo paratae fuissent, ab Attalo postulavisse videtur ut sibi missis militibus succurreret. Rex primum Apameae cum sacerdote collocutus non negavit, postea vero necessariorum acto concilio et re iterum examinata nihil inconsultu Romanorum decernendum esse censuit.

1. Rex sacerdos Pessinuntius quilibet, ut ferebat mos, Attis vocabatur. Cf. Polyb., XXII, 20, et XXI, 37. Rud. Hennig, *Symbolae ad Asiae Minoris reges sacerdotes* (diss. inaug. Lips.) 1893, p. 49. — 2. Athenaeus, frater Eumenis et Attali, Romam non semel missus. Cf. Wilcken, in Pauly-Wissowa *Realencyclopädie,* col. 2024, v. 6. — 3. Sosander, σύντροφος, collactaneus Attali (Polyb., XXXII, 25, 10). — 4. Intellige Eumenem. — 5. Bene succedentibus invidia Romanorum sequetur, male autem succedentibus pernicies (ita ἄρσιν intelligendum opinatur Foucart) manifesta. — 6. Ἐπιστραφήσεσθε lapis. — 7. Ita Wilamowitz-Möllendorff, *Lectiones epigraphicae* (Index schol. Goetting.), 1885-1886, p. 16; [ἐξε]τ[α]ζόμενα, Domaszewski, *Arch. epigr. Mittheil.*, VIII (1884), p. 100; [ἀπαρ]τ[ι]ζόμενα, Hartel apud Domaszewski, *ibid.*

---

223. Sivri-Hissar. — Perrot, *Explor. de la Bithynie,* p. 209, n. 106.

[Ὑπὲρ σωτηρίας καὶ αἰωνίας διαμονῆς | Αὐτοκράτορος Καίσαρος Οὐεσπασι]ανοῦ Σεβαστοῦ, | [ἀρχιερέως μεγίστου, δημαρχικ]ῆς ἐξουσίας τὸ | [δέκατον, τειμητοῦ, ὑπάτου] τὸ ἔνατον [1], ἀποδε‖δειγμένου τὸ δέκατον, πατρὸς π]ατρίδος, καὶ | [Αὐτοκράτορος Τίτου Οὐεσπασιαν]οῦ Καίσαρος, Σεβασ|[τοῦ υἱοῦ, ὑπάτου τὸ ἕβδομον, ἀποδε δειγμένου τὸ ὄγδο|[ον, καὶ Δομιτιανοῦ Καίσαρος, Σεβα]στοῦ υἱοῦ, ὑπάτου τὸ | [πέμπτον, ἀποδεδειγμένου τὸ ἕκ]τον, ἐπὶ Μ. Ἰρρίο[υ ‖ Φρόντωνος Νερατίου Πάνσα πρεσβευτοῦ καὶ ἀντιστρατήγου [2]].

1. Anno p. C. n. 79, ante diem 23 Junii, quo obiit. — 2. Cf. supra, n. 125.

224. Sivri-Hissar. — Körte, *Athen. Mittheil.*, XXV (1900), p. 439, n. 64.

Α]ὐτοκράτορι Τίτῳ Ο[ὐε]σπασιανῷ Σεβαστῷ Ἀντί[γον]ος Νε...

---

225. Sivri-Hissar. — Körte, *Athen. Mittheil.*, XXV (1900), p. 437, n. 63.

Τιβέριον Κλαύδιον Ἄτταν[1] ἱερέα | Ἡρα— υἱὸν Κυρείνα Δηιόταρον, ἕνα|τον μετὰ τὸν ἀρχιερέα, τέταρ|τον δὲ Γαλατῶν[3] καὶ δὶς ἀρχιε|ρέα τῶν Σεβαστῶν τοῦ κοινοῦ τῶν Γαλατῶν καὶ σεβασ|τοφάντην, Ἀτταβοκαοὶ[4] οἱ | τῶν τῆς θεοῦ μυστηρίων | συνμύσται τὸν ἑαυτῶν φί|λον καὶ εὐεργέτην, ἀρετῆς ἕ|νεκεν καὶ εὐνοίας τῆς εἰς ἑ|αυτούς, ἐπιμεληθέντος Μάρ|κου Μαγίου Νεικηφόρου.

1. Nota hic non sacerdotem maximum Pessinuntium, ut in n° 222, sed unum ex aliis sacerdotibus Attidis quoque nomine usum. — 2. Titulum ejus viri habes infra, n. 230. — 3. Hinc apparet quam artis legibus divisus esset ordo dignitatum in sacris Pessinuntiis. Sacerdos maximus collegio decem, ut monuit Körte (*loc. cit.*), sacerdotum minorum praeerat, quorum quinque priores inter Phryges, ceteri inter Galatas eligebantur. Ergo Galatarum quartus, recte nonus post sacerdotem maximum dicebatur. — 4. Nomen mystarum Magnae Matris, ex Attide ductum; cf. infra n. 230.

---

226. Sivri-Hissar. — *C. I. Gr.*, 4085; Mordtmann, *Sitzungsber. zu München*, 1860, p. 194, n. 7.

[Ἡ βο]υλὴ καὶ ὁ δῆμο[ς | Σεβα]στηνῶν Τολιστοβω|[γίω]ν[1] Πεσσινουντίων ἐ[τεί|μη]σεν Θεόδοτον Θε[ο|δότου τοῦ Τυράννου, ἄρ|[ξ]αντα καὶ εἰρηναρχή|σ[αν]τα ἐνδόξως καὶ ἀγορ[ανο]|μήσαντα πλειστά[κ]ις [ἐν κατε[π]είγουσι καιροῖς καὶ πά|σας λειτουρ[γ]ίας [ἀ]πὸ τ[ῶ]ν | ἑαυτοῦ π[ρ]ο[θύμ]ως τε[λέ]|σαντα ἀνεν|δεῶς, πάσαις τ[ει]|μαῖς τειμηθέντα ἐν ἐκκλη|σίαις ὑπό τε βουλῆς καὶ | δήμου ἀνδριάντων ἀν[α]σ[τά]σ[ε]σι καὶ εἰκόνων [ἀνα]θέσεσι, ἀρετῆς ἕνεκε[ν] [καὶ] εὐνοίας τῆς εἰς | [ἑαυτούς].

1. Pessinus vocabatur Sebaste Tolistobogiorum, quemadmodum Ancyra Sebaste Tectosagorum, Tavium Sebaste Trocmorum. Cf. Barclay V. Head, *Hist. num.*, p. 629 et 630.

---

227. Sivri-Hissar. — *C. I. Gr.*, 4093.

Τ...... Δημήτρι[ος] | οὐ[ηξ]ιλλάριος | κατεσκεύασαμεν | μετὰ τῆς συνβί|ου μ[ου θυγ]ατρ[ί]ῳ [ἡμῶν], | μνήμης χάριν.

228. Pessinunte. — Körte, *Athen. Mittheil.*, XXII (1897), p. 44, n. 25.

A

[Αὐτοκράτωρ Καῖσαρ Νέρ]ουας Τρα[ιανὸς | Γερμανικὸς Δακικὸ]ς [1] Κλαυδί[ῳ....... | ......χ]αίρειν · | ....[το]ὺς πάλαι ε..... ‖ ..... [κ]αὶ σὲ καὶ τὸν [υ]ἱὸ[ν] | .... σταμένους ..... | .... [κα]ὶ φειβλατώρια [2] δύο | .....α τέσσαρα ἔλαβον. | [Ἐρρῶσθαι ὑμᾶς εὔχ]ομαι. Πρὸ καλανδῶν..... ἀπ' Ἀντίου [3].

B

[Αὐτοκράτωρ Καῖσαρ Νέρουας Τραια]νὸς Σεβαστὸς Γερμαν[ικὸς | Δακικός]......

C

Ἐρρῶσθαι εὔχ[ομαι ὑμᾶς.....] | καλανδῶν Ὀκτωβρί[ων.....]

D

Αὐτοκράτωρ Καῖσαρ Νέρουας [Σεβαστὸς Γερ]|μανικὸς Δακικὸς Κλαυδ[ίῳ χαίρειν ·] | τὸ ἀπὸ τοῦ Θεοῦ πατρὸς..... | σοῦ καὶ τὴν τῶν πεμπομ[ένων..... δε]‖χόμενος ἔλαβον ἡδέ[ως] ..... | ..... τριμίτων [4] ζεύγη δύο..... | Ἐρρῶσθαι [εὔχομαι ὑμᾶς].

Fragmenta epistolarum quatuor, ex quibus tres Trajanus jussit ad Claudium quemdam artificem Pessinuntium mitti, qui imperatori vestes dono dederat in textrinis suis confectas.

1. Post annum 102, ante annum 116, quo Trajanus Parthicus appellatus est. — 2. *Fibulatoria*, pallia lanea, quae in omni Phrygia texebantur, *Edict. Diocletian.*, XIX, 16; cf. Blümner, *Der Maximaltarif des Diocletian* (1893), p. 151. — 3. Antii imperator aestate degebat. — 4. Τρίμιτος, trilix, *Edict. Diocletian.*, XIX, 28; cf. Blümner, *op. cit.*, p. 152.

---

229. Pessinunte. — Körte, *Athen. Mittheil.*, XXII (1897), p. 47, n. 27.

Αὐ]τοκράτορι Καίσα[ρι Σεβαστῷ....

---

230. Pessinunte. — Körte, *Athen. Mittheil.*, XXII (1897), p. 38, n. 23.

[Τιβέριον Κλαύδιον] ...ου υἱ[όν] Κυρείνα Ἡρᾶν, δέκατον μετὰ | [τ]ὸν

ἀρχιερέα, πέμπτον δὲ Γα|λατῶν διὰ βίου ἱερέα [1] Μητρὸς | θεῶν μεγάλης τῆς ἐν Πεσ|σιν<ν>οῦντι καὶ [Μ]ειδαείῳ [2], τῶν | τε Σεβαστῶν ἑξάκις, ἀρχιερέ|α τοῦ κοινοῦ Σεβαστηνῶν Γα|λατῶν [3] καὶ ἀγωνοθέτην, σεβασ|τοφάντην τοῦ ναοῦ τοῦ ἐν Πεσ|σινοῦντι ἱερασάμενον πρῶτο[ν], | γυμνασιαρχήσαντα καὶ ἐπιδ[ό]|σεις δόντα, ἔπαρχον σπείρης | Ἰτουραίων, δὶς χειλίαρχον λε γε |ώνων δύο, δωδεκάτης Κεραυνο|φόρου καὶ τρίτης Κυρηναικῆς [4], ὑπὸ | τῶν Σεβαστῶν τετειμημένον | δόρατι καθαρῷ καὶ στεφάνῳ τει||χικῷ [5], Ἀτταβοκαοὶ [6] οἱ τῶν τῆ[ς] | Θεοῦ μυστηρίων μύστ[αι ἐτεί]|μησαν τὸν [ἑαυτῶν φίλον καὶ εὐεργέτην....

1. Decimus post Sacerdotem maximum, quintus Galatarum sacerdos perpetuus Matris deorum. — 2. Midaeum, urbs Phrygiae sita prope fines Galaticos. In lapide scriptum est ΣΕΙΔΑΕΙΩ. — 3. Σεβαστηνοὶ vocantur Galatae omnes, quemadmodum nomen Sebaste additum erat eorum urbibus Ancyrae, Tavio, Pessinunti. Cf. n. 226. — 4. Legionem duodecimam e Syria, tertiam Alexandria Titus ad bellum Judaïcum adduxit; comitabantur viginti sociae cohortes (Tac., *Hist.*, V, 1). Opinatur Körte Heram bello Judaïco meruisse et titulum scriptum esse saeculo I exeunte. — 5. Donatus hasta pura et corona murali. — 6. Cf. n. 225.

---

231. Pessinunte. — *C. I. Gr.*, 4081; Mordtmann, *Sitzungsber. zu München*, 1860, p. 193, n. 1.

[Ἐπειδὴ τῇ ἱερᾷ μουσικῇ περ]ι[π]ολισ[τικῇ συνόδῳ τῶν περὶ τὸν Διόνυσον τεχνειτῶν | .... ἔδοξ]εν δοθῆν[αι τειμὰς]......|....λῳ Ἰανουαρίῳ Λικινια[νῷ] .....|....ιχινηλ Γαλατά[ρχῃ]...., || εἰσηγη]σαμένου Τ. Ἀντωνίου Εὐτυχιανοῦ Σ... κι ε ως [1] καὶ Ἀθηναίου, κιθαρῳδοῦ περιοδο[νί]κο[υ] πλειστονίκου παραδόξου, ἐπιψηφισα[μέ]νου Μ. Αὐρ. Γλυκωνιανοῦ Ἐφεσίου, κυκλί[ου] | [αὐ]λητοῦ, Πυθιονείκου, Ἀκτιον[είκ]ου, πλει[σ|τ]ονείκου παραδόξου. καὶ πάσης τῆς συνό|[δου], εὐχάριστος ὑπάρχουσα [ἡ]μῶν ἐς τοὺ[ς Γ]α|[λά]τας, ἡ ἱερὰ μουσικὴ περιπολιστικὴ [σύν|]οδος τῶν περὶ τὸν Διόνυσον τεχνειτῶν..|.... στεφαν[ο]ῖ [2] ..... [3] καὶ....||..... [4].

1. Traditur ....ΚΙϹΩΣ. — 2. Traditur ΣΤЄΦΑΝЄΙ. — 3. ΤΩΝΩϹ, Mordtmann. — 4. ΑΤΑΧΤΑΝΥΤ, id.

---

232. Pessinunte. — Perrot, *Explor. de la Bithynie*, p. 214.

...ον Μ. Λυδια[νοῦ ?].... Κλαυδίου, | ἀρχιε[ρέως τοῦ | κοιν]οῦ Γαλα[τῶν, | Σεβασ]τοφάντ[ου, | ἀγωνο]θέτου | ...οφιλης.....

233. Pessinunte. — Körte, *Athen. Mittheil.*, XXII (1897), p. 46, n. 26.

...ου υἱὸς Κυρεί[να | Πεσσινουν]τίοις? τὸν προπάτορα α[ὐτοῦ | ἀνέσ]τησεν.

---

234. Pessinunte. — *C. I. L.*, III, 6771.

... Treboni T. f. C..... |

... [Τρ]εϐωνίου Τίτου Κ.....

---

235. In vico Akardja, olim Cinna. — Anderson, *Journ. of hellen. studies*, XIX (1899), p. 114, n. 105. Cf. Ramsay, *Bull. de corr. hellén.*, XXII (1898), p. 234.

Ἀγαθῇ τύχῃ. | Μ. Ἀντώνιον | Γορδιανὸν, τὸν | θειότατον αὐτ(ο)|κράτορα, τὸν ἐκ θε|ῶν, [Κιν]νηνῶν ἄρ|χον[τ]ες, βουλὴ, δῆ|μος.

---

236. In coemeterio, prope Kazanli. — Anderson, *Journ. of hellen. studies*, XIX (1899), p. 123.

Π. Αἴλιος Νατά|λης στρατιώτης | Οἰνίδι συμβίῳ | καὶ Πλωτε(ί)νῃ θυ|γατρὶ ἑαυ(τοῦ) μνήμης | ἕνεκε(ν).

---

237. In vico dicto Chedit-Eyuk, olim Aspona. — Anderson, *Journ. of hellen. studies*, XIX (1899), p. 107, n. 95.

Ἀγαθῇ τύχῃ. | Κορνηλίαν Σα|λωνεῖναν | Σεϐ(αστὴν), μητέρα κάσ|τρων, γυναῖκα | τοῦ Σεϐ(αστοῦ) Γαλ|λιηνοῦ, | ἡ μητρ(όπολις) τῆς Γαλατίας | β' νεωκ(όρος) Ἄγκυρα.

---

238. Tavii. — Ramsay, *Bull. de corr. hellén.*, VII (1883), p. 26, n. 17.

Μ. Ἀντ[ώνιον] Μέ[μμιον] [1]......, | τὸν λαμπ|ρότατον ὑπατικὸν [2], | χει-λίαρχον [λεγεῶνος.....,] | κουαίστορα [ἐπαρχείας Λυκί|ας Παμφυλ[ίας, πράξεις συν] | κλήτου εἰλη[φότα [3], αἰδίλην] | κουρούλην, πρ[εσϐευτὴν Ἀσίας], | στρατηγὸν δή[μου Ῥωμαίων, ἔ]|παρχον αἰραρί[ου τοῦ Κρόνου [4], δι]|ορθωτὴν [5] Γαλ[ατῶν

Τρόκμων, προσ]τατεύσαντ[α καὶ ἐπιμελησάμεν]|ον αὐτῶν καὶ..... | τόπῳ καὶ.....

1. *Prosop. imp. rom.*, I, p. 101, n. 678. Fortasse idem qui, Hiero etiam cognominatus, legatus Aug. pr. pr. Cappadociae fuit sub Philippis (*Prosop. imp. rom.*, *ibid.*, n. 679). — 2. Aut συγκλητικόν. — 3. Ab actis senatus. — 4. Aut αἰραρί[ου στρατιωτικοῦ], aerarii militaris. — 5. Aut [ἐπαν]ορθωτήν, correctorem.

LYCAONIA

239. Pisae. — Anderson, *Journ. of hellen. studies*, XVIII, 1898, p. 115, n. 56.

Αὐτοκράτορα Καίσαρα Λούκιο|ν Σεπτίμιον Σεουῆρον Περ|τίνακα Σεβαστὸν, γῆς καὶ θα|λ[άσση]ς καὶ πάσης τῆς οἰκου||μέ[νης δεσπότην, Φίλαιος Μα|ρίωνος Εὐμένη [1] τῷ Πεισεα|νῶ[ν] δήμῳ παρ' ἑαυτοῦ | ἀνέστησεν.

1. Εὐμένη=Εὐμένης.

---

240. In vico Eldèch prope Tyriaeon. — Anderson, *Journ. of hellen. studies*, XVIII (1898), p. 123, n. 70.

Κοσμίων κυρίου Καίσα|[ρ]ος οὐέρνας εἰρη|νάρχης [1] Διὶ Με|γίστῳ εὐχήν.

1. Nota irenarcham servum Augusti : eum paci tuendae in aliquo Caesaris praedio praefectum fuisse verisimile est.

---

241. Loco dicto Mahmoud-Assar prope Tyriaeon. — Anderson, *Journ. of hellen. studies*, XVIII (1898), p. 124, n. 79.

(Ἔτους) ..πα' [1] · Φλ. Ἀλκιβιάδη|[ς] στρατιώτης | [ἱπ]πεὺς Κυρίλλη | [τῇ] συμβίῳ γ(λ)υκυ||τάτῃ μνήμη<μη>ς | χάριν.

1. Annus incertus.

---

242. In vico Kirili-Kassaba. — Sitlington Sterrett, *An epigraph. journey*, p. 184, n. 187.

Ἰούλιος Μάρκος στατιωνάριος [1] | [Λο]λ[λ]ία [2] Ματρώνῃ τῇ καὶ Ἐλπίδι | συνβίῳ γλυκυτάτῃ μνήμης | χάριν.

1. Stationarii dicebantur milites in diversis stationibus dispositi ad viarum custodiam et provincialium quietem tuendam. Cf. O. Hirschfeld, *Sitzungsber. der Akad. zu Berlin*, 1891, p. 20 et sq. — 2. ΑΕΛΛΙΑ Sitlington Sterrett; ΛΟΛΛΙΑ antea ediderat Ramsay, *Athen. Mittheil.*, VIII (1883), p. 77.

243. In vico Kirili-Kassaba. — Sitlington Sterrett, *An epigraph. journey*, p. 185, n. 188.

Θεόφιλος Σε|βαστοῦ ἀπελεύθερο[ς] [1] | ἐπίτροπος [2] Καλλιγένει θρε|πτῷ [3] τειμιωτάτῳ ‖ μνήμης χάριν.

1. ΑΠΕΛΕΥΘΕΡΟΥ, lapis. — 2. Augusti libertus procurator. — 3. Verna.

---

244. In vico Kirili-Kassaba. — Sitlington Sterrett, *An epigr. journey*, p. 186, n. 189.

....συνους ἰδίαν | Οὐ[α]λέντιλλαν, | τὴν ἀξιολογωτά|την ματρώναν, συν‖γενίδα συνκλητι|κῶν, τὴν σεμνοτάτην | καὶ φιλότεκνον γυνα[ῖ]|κα Καλπουρνίου | Μαρκέλλου τοῦ κρα‖τίστου [1].

1. Vir aliunde ignotus. Cf. *Prosop. imp. rom.*, I, p. 279, n. 222.

---

245. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 235, n. 1.

Μηνόδ[ω|ρ]ος ἀρχιε[ρ|ε]ὺς [1] Διὶ Βρον|τῶντι [2] καὶ Ἀ‖στράπτο|ντι | [ε]ὐχή|ν.

1. Romae et Augusti? — 2. Deus maxime in Phrygia septentrionali cultus. Cf. *Journ. of hellen. studies*, 1882, p. 123.

---

246. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII, 1888, p. 237, n. 9.

Μητρὶ Ζιζιμηνῇ [1] εὐχὴν | Ἀλέξανδρος | Ἀλεξάνδρου | Δοκιμεὺς ὁ ‖ καὶ Κλαυδει|[κ]ονεύς [2].

1. Mater (deorum) Dindymena. — 2. Iconium et titulis et nummis Claudia appellatur. Cf. ΚΛΑΥΔΕΙΚΟΝΙΕΩΝ in nummis. Barclay V. Head, *Hist. num.*, p. 595 et infra n. 263.

---

247. Laodiceae. — *C. I. Gr.*, 3990 c.

Θεοῖς | Σεβαστοῖς | εὐεργέταις | Θησεύς.

---

248. Laodiceae. — *C. I. Gr.*, 3988; cf. Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 236, n. 6.

Ἐπειδὴ ὁ ἱ[ερεὺς Διὸς?] | καὶ Βέστης [1].... ἔ[δ]ωκεν ἐν....|νη χρυσίου.... ‖ καὶ

ἱερὰ ἄγ[ειν].... | κωδλατια... | ἀπογραφὴν.... | τοῖς ἱεροῖς.... | δὲ καὶ τὸ τρ[ίτον].....|| θρον α.... | θηκα καὶ φα... | ιςб καὶ θ..[τε]λεῖν δὲ..... | ὑπὲρ αὐτοῦ....... | τελεῖν δ[ὲ.... ὑπὲρ] || αὐτοῦ ἐκ...... τοῦ μα[καρίτου.... | μα]καρίτου.... | καὶ κτ[ίσ]τ[ου]....

1. Prope fidem est Vestam cultam esse a Laodicensibus postquam eorum civitas jus coloniae adepta est (a. 235 p. C. n.).

---

249. Laodiceae. — *C. I. Gr.*, 3990.

.......ιον | ......υγει δέκα | [ἀνδρῶν τῶν ἐπὶ τοῖς] πράγμασι | [δικασθησομέ]νοις, χε[ι]||λίαρχον στρατ(ιωτῶν) πλ]α[τ]ύσημον | λεγ[εῶνος] ....ς, ταμίαν | [καὶ ἀντιστράτηγ]ον ἐπαρχε||[ίας....., πρ]εσб(ευτὴν) καὶ ἀν||[τιστράτηγον ἐπαρ]χεί[ας] Μακε||[δονίας, δήμαρχ[ον δήμου | [Ῥωμαίων, πρε[σб(ευτὴν) καὶ ἀν||[τιστράτηγον ἐπαρχ[ειῶν Πόν[τ]ο[υ] | [καὶ Βειθυνίας, στρ[ατ[ηγὸν] δήμου Ῥ[ω]||[μαίων, ἀνθύ[πατον Μακε||δονίας. Πόπ[λιος Καλπούρ||[νιος........] ἀρχιερασάμ||[ενος...... ἐν] Εἰκονίῳ ἐ||[τίμησε τὸν] ἑαυτοῦ [φ]ί||[λον καὶ εὐεργέτη]ν.

Vir aliunde non notus. Cf. *Prosop. imp. rom.*, III, p. 499, n. 31.

---

250. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 242, n. 20.

[Τ? Αἴ]λιος | Τέ[ρ]τιος, | Σεб(αστοῦ) ἀπελ(εύθερος), | [Ἑρ]μοφίλῳ ἀπελ||ευθέρῳ καὶ | θρεπτῷ, μνή|μης χάριν.

---

251. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 243, n. 25.

Ἀσκληπιάδης, | οὐέρ[να] τοῦ | Σεб(αστοῦ), Ἀσκληπι|άδῃ πατρὶ || καὶ Μομίᾳ μη|τρὶ σὺν τοῖς ἀ|δελφοῖς, | μνήμης χά|ριν.

---

252. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 244, n. 28.

Κόμοδος, Λ. Κ(αλουεισίου) [1] | Πρόκλου ..... [2] | [δ]οῦλος, Ζωτικ[ῷ] [3] | [υ]ἱῷ γλυκυτάτῳ || καὶ Μίκκᾳ γυναικὶ | καὶ ἑαυτῷ ζῶν, μνήμης χάριν, | ζήσαντι ἔτη αι', μῆ[νας....]

1. Cf. *Ibid.*, p. 237, n. 8 : [Πόπ]λιος Καλουείσιος Πρόκλος. — 2. Traditur HC. — 3. ΖΩΤΙΚΟ traditur.

253. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 242, n. 21.

Κόσμος | οὐέρνας | ἱππεὺς [1] | καὶ Δόμνα || ἡ σύμβιος | αὐτοῦ ἑαυτ[οῖς] | ζῶντες, | μνήμης χά[ριν].

1. Cf. *Ibid.*, n. 22 .... | οὐέρνα Ἱπεὺς | Ζόη.....

---

254. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 242, n. 23.

Μάρκος οὐέρνας | [Αὐ]ρ. Μαρκίᾳ γλυ[κυτάτῃ συμβίῳ] ....

---

255. Laodiceae. — *C. I. L.*, III, 6778.

C. Rubrio C. f. Po. [1] C. Rubrius Optatus | patrono pietatis causa.

Ὀπτᾶτος Γαίῳ Ῥοβρίωι τῶι πάτρωνη [2] | φιλοστοργίας ἕνεκεν.

1. Po[l(lia) tribu]. — 2. I. e. πάτρωνι.

---

256. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 243, n. 24.

Σέλευκος, | οὐέρνας τοῦ | Σεβαστοῦ καν|κελλάριος, Αὐρη(λίῳ) || Χρυσάνθῳ καὶ | Αὐγούστῃ, δού|λῃ τοῦ κυρίου [1], | γλυκυτάτοις | γονεῖσι [2], μνήμης || χάριν · ὃς δὲ ἂν | πτῶμα ἕτερον | ἐπισ[ενένκει, δώσει.....

1. Servae Augusti. — 2. Ita Ramsay.

---

257. Laodiceae. — Ramsay, *Athen. Mittheil.*, XIII (1888), p. 244, n. 29.

Λ. Σεπτίμιος | Ἀππιανὸς | Μενέᾳ πραγμα|τευτῇ ἀρέσαν||τι, μνήμης χάριν.

---

258. Laodiceae. — *C. I. Gr.*, 3990 *i*.

Λ. Τιττιανὸς Κάβρων [1] Λαφρηνὸς [2] ἀρχιερεὺς Τ. Κάβρωνι.

1. Carbo. — 2. Oriundus ex aliquo pago Laodicensi, qui vocabatur Laphra.

259. Loco dicto Hadji-Hafiz-tchechmè, inter Iconium et Laodiceam. — Ex schedis Instituti Vindobonensis. Descripsit Heberdey.

II. [Α]ἴλιος, Σεβ(αστοῦ) ἀπελ(εύθερος), Φ[α]ῦστος | ἀνέστησε.

---

260. Iconii. — Ex schedis Instituti Vindobonensis. Descripsit Heberdey.

Ioui optimo m[aximo | Iunoni reginae e]t Mineruae, Zizi[menae [1] deae, Fortunae Aug.].

.... ἀπελεύθερος, Φῆλι[ξ Διὶ Ὀλυμπίῳ καὶ Ἥρᾳ | καὶ Ἀθηνᾷ καὶ θεᾷ Ζι]ζιμμηνῇ καὶ Τύχῃ Σ[εβαστῇ].

Supplementa non satis certa sunt.

1. I. e. Dindymenae, quod cognomen Cybeles deae notum est. Cf. supra, n. 246.

---

261. Iconii. — Sitlington Sterrett, *An epigraph. journey*, p. 210, n. 228.

.... [ἱερεὺς] | Διὸς με[γίστου] διὰ | βίου καὶ ἀρ[χιερεὺς] | Θε[ῶ]ν Σεβασ-[τῶν]....

---

262. Iconii. — Ex schedis Instituti Vindobonensis. Descripsit Heberdey.

[Αὐτοκράτωρ Κ]αῖσαρ Σεβαστὸς [θεοῦ | υἱὸς, αὐτοκράτωρ, ἐποίησεν τ[ὴν σκην|ὴν καὶ τὸ ὑποσ]κήνιον τῇ πόλε[ι τῇ Ἰκο|νιέων ἐπὶ Πο]υπίου [1] πρεσβε[υτοῦ] [2].

Supplementa addidit qui invenit.

1. Vel .....ο]υ Πίου. — 2. Legatus pro praetore Galatiae inter annos 7 a. C. n., quo Lycaonia in provinciae formam redacta est, et 14 p. C. n., quo Augustus mortuus est.

---

263. Iconii. — *C. I. Gr.*, 3991, cf. addit.

[Κ]λαυδ[εικονιέ|ω]ν ὁ δῆμος ἐτεί|μησεν | [Λε]ύκιον Πούπιον Λευ|[κ]ίου υἱὸν Σαβατεινᾳ | [Π]ραίσεντα [1], χειλίαρχον, | [ἔ]παρχον ἱππέων ἄλη[ς | Π]εικεντεινῆς [2], ἐπίτρο|[π]ον Καίσαρος προς ὄ|[χ]θαις Τιβέρεως [3], ἐπίτρο[π]ον Τιβερίου Κλαυδίου | [Κ]αίσαρος Σεβαστοῦ Γερ|[μ]ανικοῦ καὶ Νέρωνος | [Κ]λαυδίου Καίσαρος Σε[β]α[σ|τ]οῦ Γερμανικοῦ [Γ]αλα|[τ]ικῆς ἐ[π]αρχεία[ς [4], τ]ὸν ἑ|[αυ]τοῦ εὐεργέτην καὶ | [κ]τίστην.

1. Idem vir nominatur procurator Neronis in titulo apud Sagalassum reperto (*American*

journ. of arch., 1886, p. 129). Cf. de eo *Prosop. imp. rom.*, III, p. 110, n. 806. — 2. Ala Picentina. — 3. Procurator ad ripas Tiberis; cf. O. Hirschfeld, *Untersuchungen*, p. 153, qui censet procuratorem illum munere extraordinario functum esse eo tempore quo, jussu Claudii, portus Ostiensis ampliaretur. — 4. Ergo anno 54, quo Claudius decessit mense Octobri et Nero imperium adeptus est.

---

264. Iconii. — Héron de Villefosse, *Comptes rendus de l'Acad. des Insc.*, 1890, p. 443, n. 3; cf. Heberdey in schedis Instituti Vindobonensis. Nuper repetivit Pargoire, *Bull. de corr. hellén.*, XXIII (1899), p. 418.

Ἀ[γ]αθῇ τύχῃ. | Ἰούλιον Πόπλιον | τὸν κράτιστον ἐπίτρο[π]ον [1], ἁγνείᾳ καὶ δικαι|οσύνῃ πάντας ὑπερβα|λόμενον τοὺς πρὸ αὐτοῦ, | Λ. Καλπ(ούρνιος) Ὀρέστης, πρίνκεψ | καὶ λογιστὴς [2] τῆς λαμπρᾶς | Εἰκονιέων κολωνίας, τὸν | ἑαυτοῦ καὶ τῆς πατρί|δος εἰς πάντα εὐερ|γέτην.

1. Vir egregius, procurator, aliunde ignotus. Cf. *Prosop. imp. rom.*, II, p. 209, n. 337, ubi eum pro curatore coloniae habent editores, non recte. — 2. Princeps et logista civitatis.

---

265. Iconii. — Sitlington Sterrett, *An epigraph. journey*, p. 191, n. 196.

Ὀνήσιμος Καί|σαρος [1] Βαδῖ γυναι|κὶ τὴν στήλην | ἔστησε καὶ ἐπέ|γραψε. μνήμης | χάριν.

1. Onesimus, Caesaris servus.

---

266. Iconii. — Sitlington Sterrett, *An epigraph. journey*, p. 207, n. 238.

.....|..... [ἐ]ὰν δὲ ἕ|[τερ]ός τις ἐπισβιάσ|[η]ται, ὑποκείσε|ται φίσκῳ δην|άρια χείλια.

---

267. Iconii. — Sitlington Sterrett, *An epigraph. journey*, p. 188, n. 191.

Post tres versus :

Ἐὰν δέ τις εἰσβιάσηται, ὑποκείσεται τῷ ἱερωτάτῳ ταμείῳ δηναρίοις μυρίοις πεντακισχειλίοις [1].

1. Cf. etiam alium titulum Iconii repertum (*C. I. Gr.*, 3996) : τῷ φίσκῳ δηναρίοις δισχειλίοις πεντακοσίοις.

268. In vico Almassoun. — Paris et Radet, *Bull. de corr. hellén.*, X (1886), p. 508, n. 15.

Μ. Αὐ(ρήλιον) Παπίαν οὐετρανὸν ἐ[ν]δόξως στρατευσάμενον [Ἄ?]|μμα [1] θυγάτηρ αὐτοῦ τὸν ἑ[αυ]τῆς εὐεργέτην.

1. Vel [Ἴ]μμα.

---

269. In vico Almassoun. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 32, n. 40.

Τιβέριος Κλαύδιος ο(ὐετρανὸς) πατὴρ καὶ Ἀτι[λί]α Ἰ[ν]γενοῦα μήτη[ρ] ἐ|κόσμησαν Ἀτιλίαν || Μαρτίναν θυγατέρα | ἐτῶν ιε', | παρθέν[ο]ν ἀπὸ δα...|.οιας [1], τιμῆς χάριν.

1. An intelligendum sit ἀπὸ δ(ι)ανοίας, ex voluntate, dubitat Haussoullier.

---

270. In vico Zosta, olim Derbe. — Radet et Paris, *Bull. de corr. hellén.*, X (1886), p. 509, n. 19; cf. Sitlington Sterrett, *The Wolfe expedition*, p. 27, n. 28.

a) [Γάιο]ς Ἰούλιος Ῥοῦφος οὐετρανὸς....

b) ...[σ]εμνὸν ἔχοντα βίον Αἴλιον Φλάουιον Δημήτριον....|... μνήμης χάριν ἐστεφάν[ω]σ[ε]ν.

---

271. In vico Zosta, olim Derbe. — Radet et Paris, *Bull. de corr. hellén.*, X (1886), p. 509, n. 20; cf. Sitlington Sterrett, *The Wolfe expedition*, p. 26, n. 25.

Τίτ[ῳ Σ]εξτειλίωι [Τ|ί]του υἱῶι [Φ]αβία | οὐετρανῷ λεγε|ῶνος τετάρτης [1], || Νόννος Νήσιος, | τειμῆς [2] χάριν.

1. Aut Macedonica aut Scythica. Nota et veteranum et legionem cognomine carentes : titulus ergo ad aetatem primorum imperatorum pertinere videtur. — 2. Vel μνήμης, ut volunt Radet et Paris.

---

272. In vico Bosola. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 22, n. 19.

..... Λονγεῖνος καὶ [Γ.] Οὐέτ[τ]ιος Ἀκύλας ..... | [Λονγ]εῖνος, ἱππεὺς [εἴ]λης β' [Γ]αλλικῆς, ...|....ολιον Λονγεῖνον οὐετρανὸν πραιτώρι[ο]ν.... | [τὸ]ν κληρονομηθέντα ὑπ' αὐτῶν, καθὼς [ὁ? κλη]||ρονομηθεὶς Λονγεῖνος διετέ[τ]α[κτο].

273. In vico Serpek, ubi fuit olim Sidamarium. — M. Pridik, *Rev. de l'Instr. publique de Saint-Pétersbourg*, 1900 (mars-avril), pars philologica, p. 19; Ramsay, *Revue des ét. anciennes*, 1901, p. 279.

[Αὐτοκράτορι Καίσαρι Τραιανῷ] Ἀδριανῷ Σεβ(αστῷ), | [Θεοῦ Τρα]ιανοῦ υἱοῦ, Θεοῦ Νέρου[α υἱω]νοῦ [1], Σιδαμαρι|ωτῶν [2] ἡ [βουλὴ] καὶ ὁ δῆμος τὸ βαλανε[ῖον] καθιέρωσαν | ἐπὶ [Βρουττίου Πρα]ίσεντος [3] πρεσβ(ευτοῦ) καὶ ἀν[τιστρ(ατήγου) τ]οῦ [Σ]εβ(αστοῦ), ἐπι|[μεληθέντος.....

1. Ita in lapide pro υἱῷ, υἱωνῷ. — 2. ΙΔΑΜΑΡΙΩΤΩΝ, Pridik. — 3. Consul suffectus anno incerto, consul II cum Antonino Pio anno 140. Cf. *Prosop. imp. rom.*, I, p. 241, n. 137.

---

274. In vico Sidivre, prope Larandam. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 19, n. 15.

Post 3 versus :

Ὃς δὲ κα]ὶ τούτ[ου] καταφρονήσῃ | [τῷ ταμείῳ δη]νάρια μύρια δισχίλια πεντακόσι[α ἀποδώσει].

ISAURIA

275. Prope vicum Tchaouch. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 171, n. 280.

[Κ]ουατέρνιος Μουννιηνὸς οὐετρανὸς ἀπὸ κομενταρησίων [1] | καὶ Οὐαλερία Οὐαλεριανὴ ἡ σύνβιος αὐτοῦ ἀπήρτικαν τὸ ἡρῷον | καὶ τὸν παράδεισον ἑαυτοῖς ζῶντες οἱ κτίσται. | Εὐτύ[χ]ει, Γρηγορι [2].

1. A commentariensibus. — 2. Gregorius, signum defuncti.

---

276. In vico Aktchèlar. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 181, n. 297.

Γ[ά]ιος Αἴλι|ος Ῥηγεῖνος | Ζμυρναῖος | [π]αιδοτρίβη[ς] || ἀνέστησα Σωκ[ρά]|τῃ υἱῷ, μνήμης | χάριν.

---

277. Loco dicto Tchiftlik. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 185, n. 304.

... Κλε[α]ρχία[ν]? | Κλεάρχο[υ], | ἀρχιερασά[με]|νον, πρῶ[τον] || ἄρχοντα, | τὸν ἑαυτ[ῶν] | δεκά[ρχην].

---

278. In vico Ak-kilisse. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 126, n. 211.

.... | ....δι..ιν..|νις Γάιον Ἰούλι|ον Καπί[τ]ωνα, ἱπ||[π]έα, τὸν πατέρα | αὐτ[ῶ]ν, ἀνέστησαν | κατὰ διαθήκας καὶ εὐσεβείας εἵνε|κεν.

---

279. In vico Ak-kilisse. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 127, n. 212.

Κάλλιστος [1] οἰκο(ν)όμος? Οὐαλερίου [Λόν?]γου τριβού|νου ἀνέστησεν | τὸν ἄνδρα αὐτῆς.

1. Expectares Καλλίστη.

280. In vico Orta-Kara-Viran. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 129, n. 217.

Ὁ δῆμος Γοργ[ο?]|ρωμέων? [1] ἐτείμ[η]|σεν Γάιον Ἰούλι|ον Ροῦφον, τὸν γε|νόμενον ἑκατον|τάρχην καὶ ἀρχιε|ρέα τῶν Σεβαστῶν | διὰ βίου, ἀρετῆς | ἕνεκεν καὶ τῆς || εἰς αὐτὸν εὐνοί[ας].

1. Gorgorome, urbs Isauriae hactenus ignota, quam Sterrett putat non longe a Kara-Viran sitam, in loco hodie dicto *Goulgouroum*.

---

281. Loco dicto Yali-Eyuk. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 133, n. 227.

.... [1] Ἰούλιος Τερέντιος.... λεγεῶνος | ιε' Ἀπολλιναρίας ἀποστρατευσά-[μενος [2] | ἀν]έστησεν ἑαυτὸν καὶ ἐνόρ κους.

1. Traditur ///_ЄΙΟΥΛΙΟC. — 2. Missus.

---

282. Loco dico Ali-tcharchi. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 139, n. 238.

[Κ]ορνηλίου Νέπω[τος] | οὐετρανοῦ.

Lapidem fractum esse non indicat is qui edidit.

---

283. Loco dicto Ali-tcharchi. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 138, n. 236.

[Λο]ν[γ]εῖ[νον οὐε]|τρανὸν ἀδ[ελφ]ὸ[ν] ...|σεας καὶ Μουτάδ.. [1] Λογγείνου υἱόν...

Traditur ΜΟΥΤΑΔΙ////.

---

284. In vico Siristat. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 99, n. 164.

....αρα....... | [Ἰούλ]ιον Κρίσπον [στρατι|ώτ]ην καὶ Γάιον Ἰού[λιον | ....]έρα στρατιώ[την.....] || ......θανωτα | καὶ Γάιον Ἰούλιον Κρίσπον Πρίσκον τοὺς υἱοὺς α[ἰ]|αυτῆς καὶ πατέρα αὐτῶν.

285. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 116, n. 191.

Ὑπὲρ τῆς Αὐτοκράτορος Τραιανο[ῦ] | Ἁδριανοῦ Καίσαρος Σεβαστοῦ σω|τηρίας καὶ αἰωνίου διαμονῆς με|τὰ τοῦ σύμπαντος αὐτοῦ οἴκου || [Ἀσ]κλ[ηπιῷ]ι καὶ Θεᾶι Ὑγγία[ι] [1] | ... νος δι...νος α..ιει | ...κλ π[α]ντὸς ἐν τῷ.. | .... τῇ ἑαυτοῦ πατρίδι [2].

1. Nomina Aesculapii et Hygiae agnovit Haussoullier. — 2. Cf. titulum similem eo loco inventum (*ibid.*, n. 192).

---

286. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 113, n. 188.

Αὐτοκράτορι Καίσαρι Θεῶι Ἁδριανῶι Σεβαστῶι, Θεοῦ | Τραιανοῦ υἱῷ, Θεοῦ Νερούα υἱωνῶι, | Ἰσαυρέων ἡ βουλὴ καὶ ὁ δῆμος.

---

287. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 112, n. 187.

[Ἀγ]αθῇ [τύχῃ]. Ὑπὲρ τῆς [αἰωνίο]υ Αὐτοκράτορος Καί[σαρος] | Μ. Αὐρηλίου Ἀντωνείνου Σεβαστοῦ Ἀρμενι[ακοῦ] | Μηδικοῦ Παρθικοῦ [1], π(ατρὸς) π(ατρίδος), τύχης τε καὶ νε[ίκης] | καὶ αἰωνίου διαμονῆς καὶ τοῦ σύμπαντο[ς] || αὐτοῦ οἴκου καὶ ἱερᾶς συνκλήτου καὶ δήμου [Ῥω]|μαίων τῇ κυρίᾳ πατρίδι Μ. | Μάριος Μ. Μαρίο[υ] | Πίου υἱὸς Φλασυιανὸς Πίος ἀρχιερασάμε|νος τὴν στοὰν κειόνων εἴκοσι πέντε || καὶ τὰ ἐν αὐτῇ ἐργαστήρια σὺν τῷ ψα[λ]ιδώματι ἐκ φιλοτειμίας κατεσκεύασεν ἐκ | τῶν ἰδίων, συναρχιερασαμένης αὐτῷ καὶ Αὐρη|[λί]ας Ἀθηναίδος τῆς γυναικός.

1. Inter annum p. C. n. 166, quo M. Aurelius Parthici, et 172, quo Germanici cognomine usus est.

---

288. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 106, n. 180.

Αὐτοκράτορα Καίσα|ρα Μάρκον Αὐρήλι|ον Ἀντωνεῖνον | Σεβαστὸν Γερμα||νικὸν Σαρματικὸν [1] | Ἰσαυρέων ἡ βουλὴ | καὶ ὁ δῆμος, δι' ἐπι|μελητοῦ Ὀρέστου | Τιβερίου ἀρχιερέως.

1. Post annum 175, quo M. Aurelius Sarmaticus est appellatus, ante 180, quo mortuus est.

289. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 108, n. 182.

[Λ. Σεπτίμιον Σευῆρον | Περτίνακα Σεβαστὸν | Ἀραβικὸ]ν [Ἀ]δια|βηνικὸν Ἰσαυρέων ‖ ἡ βουλὴ καὶ ὁ δῆμος.

290. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 115, n. 190.

Γ. Ἐτρείλιον Ῥ[ήγ]ιλλον | Λαβέριον Πρεῖσκον, πρεσ|β(ευτὴν) Αὐτοκράτορος Καίσα|ρος Τίτου Αἰλ ίου Ἀδριανοῦ ‖ Ἀντωνείνου Εὐσεβοῦς, | πατρὸς πατρί|δος, ἀντιστράτηγον ἐπαρ|χειῶν Κιλικίας Ἰσαυρίας Λυκα|ονίας [1], ὕπατον, Ἰσαυρέων | ἡ βουλὴ καὶ ὁ δῆμος τὸν ‖ ἑαυτῶν ε[ὐε]ργέτην, | διὰ ἐπιμελ|ης του Πασίω|νος Καλλιμάχου [2].

1. Inde sequitur Isauriam et Lycaoniam jam eo tempore a Galatia distractas et Ciliciae adjunctas fuisse. — 2. Alteram basim, omnino similiter inscriptam, eodem loco inventam edidit idem (*op. cit.*, p. 114, n. 189).

291. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 117, n. 194.

Αὐρ. Ὀρεστεῖναν | Λουκίου θυγατέρα | ἀρχιέρειαν, | γυναῖκα Κάστορος ‖ τοῦ φιλοδόξου | [ὁ δ]ῆμος.

292. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 107, n. 181.

Ἰσαυρέων ἡ βουλὴ καὶ | ὁ δῆμος οἵ τε συνπο|λειτευόμενοι Ῥω|μαῖοι [1] Ταρκυνδβέρ‖αν Δημητρίου, ἀρχι|ερέα Θεῶν Σεβασ|τῶν, ἐκ προγόνων εὐ|σχήμονα καὶ φιλόπα|τριν ἔν τε ἀρχαῖς ⌈πά⌉‖σαις καὶ ἐπιμε⌈λεί⌉|αις ταῖς παρη[κούσαις⌉ | καὶ πρεσβ[είαις... | ......] γαικι [.........].

1. Cf. n. 294.

293. Isaurae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 118, n. 195.

....ος Ὀρέστ[ης .... | .... κα]ὶ ἀρχιερε[ὺς .... | .... ἀρχιερ]ασάμενο[ς .... ‖ .... τῇ αὐτο]ῦ πατρίδι .... ‖ ... ... Τι .... | ....τορας υἱο .... | ....της ἐποίησ..... .

294. Isaurae. — Radet et Paris, *Bull. de corr. hellén.*, XI (1887), p. 67, n. 46.

[Ἰσα]υρέων ἡ βουλὴ καὶ ὁ δῆμος οἵ τε συμπολιτευόμενοι Ῥωμαῖοι [1].

1. Inde docemur colonos Isauram, victis Isauricis, a Romanis deductos, simulque urbis administrationem inter veteres cives novosque esse divisam (Radet et Paris, *loc. cit.*; E. Kornemann, *De civibus romanis in provinciis consistentibus*, p. 45). Cf. n. 292.

---

295. Loco dicto Almassoun. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 37, n. 50.

[Αὐτοκράτορι Καίσαρι Γ. Αὐρ. | Οὐαλερίῳ Διοκλ]ητ|[ιανῷ] Εὐσεβ(εῖ) | [Ε]ὐτυ[χ]εῖ Σε||β(αστῷ) [κ]αὶ Λ[ὐ]το|κράτο[ρι] | Καίσα[ρι] Μ. | Αὐ[ρ.] Οὐαλε|ρί[ῳ] Μα[ξι]||μ[ιανῷ] Ε[ὐ]|σ[εβεῖ Εὐτυ]|χ[εῖ] Σ[ε]β(αστῷ).

Lectionem incertam esse monet editor.

PISIDIAE PARS SEPTENTRIONALIS

(PHRYGIA PISIDICA)

296. In vico Saghir. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 239, n. 371.

Ἀγαθῇ τύχῃ. | [Ὑπὲρ τῆς] τοῦ ἡμῶν Αὐτοκράτορος τύχης καὶ νείκης καὶ ἐωνίου διαμονῆς καὶ σύν παντος αὐτοῦ οἴ]κου σωτηρίας ἐποίησαν Ξένοι Τεκμόρειοι [1] ἔριππον Ἥλιον σὺν τῷ | [κόσμῳ καὶ κα]τασκευῇ πάσῃ ἐκ τῶν ἰδίων ἀναλωμάτων ‖ ..... | ..... | ..... | ..... | ..... ‖ ..... | .. [Μ]αρσιανὸς | [Μενν]έου?, Μαρσιανὸς | ...νος Τριγλεττηνός [2].

1. Socii, auctore Ramsay, collegii cujusdam in honorem Artemidis instituti, qui ut alii alios agnoscerent signo aliquo arcano (τέκμωρ) utebantur. Res in incerto manet. Exstiterunt et alia similia collegia in aliis ejusdem regionis vicis, Ganzaeno et Limenia. *Hist. geogr. of Asia Minor*, p. 409 et seqq. Addit Ramsay (p. 411) : « The members have little or nothing of the graeco-roman tone, and they belong as a rule to districts wich are inhabited on the old Anatoliam system (κωμηδόν) and not on the graeco-roman system (κατὰ πόλεις) ». — 2. E vico Triglettia cujus situs ignoratur (Ramsay, *op. cit.*, p. 414).

297. In vico Saghir. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 239, n. 370; cf. p. 430.

Ἀ[γαθῇ τύχῃ]. Ὑπὲρ τ[[ῆ]ς τῶ[ν] κ[υρίων ἡμῶν] Α[ὐ]τ]οκρατόρων τύχης | καὶ νείκης καὶ ‖ [ἐ]ωνίου διαμονῆ[ς] | Ξένοι Τεκμόρει[οι [1] ἀνέστησαν | καὶ χαλκώμα[τα] [2] | καὶ τὴν εἰκόνα [τῆς θ]‖εᾶς Ἀρτέμιδο[ς | τὴ]ν ἐν τῷ προνά[ῳ] | ἀπ[οκ]ειμένην.

1. Cf. n. 296. — 2. Traditur ΧΑΑΚΩΜΑΛ.

298. In vico dicto Saghir. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 238, n. 369; cf. p. 430.

[Ὑπὲρ τῆς τῶν κυ]ρίων τύχης καὶ | νείκης καὶ αἰωνίου διαμονῆς | καὶ τοῦ

σύμπαντος αὐτῶν οἴκου | σωτηρίας ἀνέστησαν Ξένοι ‖ Τεκμόρειοι [1] Τύχην χάλκεον ἐπ[ὶ | ἀν]αγραφέος Αὐρ. Παπᾶ δὶς Λετ[..]ηνοῦ. | [Δ]οὺς ἐπίδοσιν δηναρίων γϙα΄..... | [Μ]εννέας.

1. Cf. nn. 296 et 297.

---

299. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 154, n. 139.

Λ. Καλπούρνιον | Ῥηγεινιανόν, | τὸν λαμπρότατον συ[ν]|κλητικόν, υἱὸν Καλ‖πουρνίου Ῥηγινιανοῦ [1], τοῦ | λανπροτάτου ὑπατικοῦ, | Οὔλπιος Τατιανὸς Μάρκελος | δυανδρικὸς, ἀρχιερεὺς διὰ | βίου τοῦ ἐπιφανεστάτου θεοῦ Διονύσ[ου].

1. L. Calpurnius Reginianus filius et Calpurnius Reginianus pater, ambo ignoti; de quibus cf. *Prosop. imp. rom.*, I, p. 289, n. 255, 256.

---

300. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 134, n. 108.

....αν Λουκί[ου Θυ]|γατέρα Πα[ῦ]λλα[ν], | γυναῖκα Γαίου Κ[α]|ριστανίου Φρόν‖τωνος [1], πρεσδευ|τοῦ Αὐτοκράτορο[ς] | Καίσαρος [Δομ|ετιανοῦ] Σεβαστοῦ | ἀντιστρατήγου Λυκ[ί]‖ας καὶ Παμφυλίας, | [Φρ]όντων γ[υναῖκα | καὶ τοὺς υἱοὺ]ς τοὺς ἑαυτο[ῦ ἀνέστησεν].

1. De eo viro nihil amplius novimus; cf. *Prosop. imp. rom.*, I, p. 304, n. 358.

---

301. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 121, n. 93.

Αὐρ. Διονύσι|ον τὸν ἀξιο[λογώτατον ἑ|κατόνταρχον ‖ [λ]εγεωνάριον | ἡ λαμπρὰ τῶν Αν|τιοχέων μητρό|πολις ἐπ(ι)εικίας | τε κ[α]ὶ τῆ(ς) εἰρή‖νης ἕνεκα......

---

302. Antiochiae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 218, n. 352.

Τὴν λαμπροτάτην | Ἀντιοχέων κολω|νίαν ἡ λαμπροτά|τη Λυστρέων κολω‖νία [1] τὴν ἀδελφὴν | τῷ τῆς Ὁμονοίας | ἀγάλματι ἐτείμη|σεν.

1. Lystra, urbs Lycaoniae.

303. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 150, n. 135.

.... Κολονείας υ... | καὶ Γ. Φλαίου [1] Βα[ι]|βιανοῦ ἱππ[έως] [2] | Ῥωμαίων, ἀρχι[ε]||ρέων διὰ βίου | τοῦ πατρίου [ἡ]|μῶν] θεοῦ Μηνὸ|ς, Ἰούλιον Δό[μ]|νον Νό[ννον].

1. I. e. Φλαουίου; Φλα(βίου) Ἰου(λίου) explicat Sterrett. — 2. ΙΠΠΟ traditur; ἱππό[του], Sterrett.

---

304. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 123, n. 95; cf. *Bull. de corr. hellén.*, 1898 (XXII), p. 237.

...κιανὸς | ..... [κα]ὶ λογιστὴς [1] | [τῆς τῶν Ἀ]ντιοχέων | [μητρ]οπόλεως || [τὸ ζυγ]οστάσιον ?

1. Curator urbis.

---

305. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 153, n. 137.

Λ. Μάλιος Φλάκος | καὶ Γ. Μάλιος Μάξιμος | ἀδελφοὶ ἑαυτοῖς καὶ | τοῖς ἰδίοις καὶ Λ. Μαλίῳ || Μαξίμῳ νομικῷ [1], τέκνῳ | γλυκυτάτῳ, καὶ τοῖς ἰδίοις | γονεῖσι μνήμης χάριν.

1. Juris perito.

---

306. Antiochiae. — Sitlington Sterrett, *An epigr. journey*, p. 160, n. 147.

[Κ]οίντος Μο[υν]ή||τι[ος] [1] Εὐτυχ[ὴ]ς | Κοίντου Μουνη|τίου Πωλίωνος | πραγματευτής.

1. Munatius.

---

307. Antiochiae. — *C. I. L.*, III, 6857.

V. u. [1] Petilia M. f. | Tertia sibi et | M. Petilio patri. |

Ζῶσα Πετιλία Τερτία || ἑαυτῇ καὶ Μάρκῳ | Πετιλίῳ πατρί.

1. V(iva) v(ivo).

308. Antiochiae. — *C. I. L.*, III, 6838.

D. Polleni[us] | D. f. Ser. Proc[lus]. | Δέκμος Πολλέν[ι]ος | Δέκμου υἱὸς Σεργίᾳ || Πρόκλος.

309. Hissar prope Antiochiam. — Sitlington Sterrett, *An epigr. journey*, p. 124, n. 97.

Τύχην εὐ|μενῆ τῇ | κολωνείᾳ Τιβεριο|πολειτῶν Παπ|ηνῶν Ὀρονδέ|ων [1] βουλή, δῆμος.

1. Pappa civitas in Oroandensium territorio sita ab imperatore Tiberio nomen Tiberiopolim accepit. Cf. Ramsay, *Hist. geogr. of Asia Minor*, p. 398.

(PISIDIA GALATICA)

310. Kutchuk-Kabadja. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 355, n. 504.

.......|... εστε τόπου Ἀκενᾶ · εἰ δέ τις | ...ωσι, θήσι εἰς τὸν φίσκον δηνάρια | πεντακόσια.

---

311. Tymandi. — Legrand et Chamonard, *Bull. de corr. hellén.*, XVII (1893), p. 258, n. 40.

Αὐτοκράτορα Καί|σαρα Θεοῦ Ἁδρι|ανοῦ υἱὸν Θε|οῦ Τραιανοῦ Παρ||θικοῦ υἱωνὸν | Θεοῦ Νέρουα ἔγ|γονον Τίτον Αἴλι|ον Ἁδριανὸν Ἀντω|νεῖνον Σεβαστὸν || Εὐσεβῆ, ἀρχιερέα μέγιστον, δημαρ|χικῆς ἐξουσίας | τὸ γ', ὕπατον [1], πα|τέρα πατρίδος, || εὐεργέτην τοῦ | κόσμου, | Τυμανδεῖς, | ἐπιμεληθέν|τος] | τῆς ἀναστάσε[ως Λι]|κιννίου Νε.....|ου, ἐπὶ Λικ[ιννίου] | Τυμανδέων στρατ[ηγοῦ.]

1. Anno p. C. n. 140. Debuit esse ὕπατον τὸ γ'.

---

312. Apolloniae. — Le Bas-Waddington, 1194.

[Τοὺς κοινοὺς σωτῆρας] καὶ ἰδίους θεοὺς Σεβαστοὺς καὶ τοὺς παῖδας αὐτ ῶ ν [Ἀπολλωνιατῶν Λυκίων ὁ δῆμος.

[Γαίῳ Καίσαρι, Γερμ]ανικῷ, Τιβερίῳ Καίσαρι, Θέῳ Σεβαστῷ, | Θεᾷ Ἰουλίᾳ, Δρούσῳ, Λευκίῳ Καίσαρι.]

Probavit Waddington haec verba aedificio quondam inscripta fuisse in honorem Divi Augusti et domus ejus exstructo, imperante Tiberio, et statuis decorato : « Je crois que les statues étaient placées dans l'ordre suivant : à la droite d'Auguste, en regardant le monument, Livie, faisant face à Tibère ; à la droite de Livie, Drusus, faisant face à Germanicus et enfin, aux deux extrémités, les statues de Caius et de Lucius César. De cette façon on obtient une ordonnance parfaitement symétrique ». Infra, exaratum fuerat *Rerum Gestarum Divi Augusti* exemplar, cujus pars maxima periit ; quod superest hic repetere supervacaneum nobis videtur. Cf. quae monuimus supra p. 65, ad n. 159.

313. Apolloniae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 358, n. 515; C. *I. L.*, III, 6868.

[Αὐτοκρ]άτορα | [Νέρο]υαν | [Τραι]ανὸν] | [Καίσ]αρα | [Σεβα]στὸν || [Γερμα]νικὸν | [Δακι]κὸν [ὁ δῆμ]ος. | [Ex tes]tamento [1].

1. ΓΑΜΕΝΙΟ Sterrett. Formulam latinam agnovit Mommsen; quanquam ea verba in fine tituli a populo imperatori dedicati scripta fuisse a solito recedit.

314. Apolloniae. — Anderson, *Journ. of hellen. studies*, XVIII (1898), p. 95, n. 35.

Αὐτο[κ]ράτορα | Καίσα[ρ]α Μ. Αὐρή(λιον) | Ἀν[τωνεῖ]νον | Σεβα[σ]τόν, υἱ||ὸν Αὐ[τ]οκράτο|ρος Καίσαρος Λ. | Σεπτιμίο[υ] Σευ|ουήρου Π[ε]ρτίνα|κος Σεβ(αστοῦ), ἡ βουλὴ || καὶ ὁ δῆμος | Ἀπολλωνιατῶν | Λυκίων Θρακῶν | κολωνῶν.

Collato loco Plinii (*Hist. nat.*, V, 95 : *Thracum soboles Milyae, quorum Arycanda oppidum*) docuit Waddington (Le Bas-Waddington, III, ad n. 1195) Thracas quosdam olim in Lyciam migravisse et sedem collocavisse, unde rursus postea coloni Apolloniam deducti fuerint : recte ergo Apollonienses dici Lycios Thracas et in titulis et in nummis; quod probat G. Hirschfeld (Pauly-Wissowa, *Realencyclopädie*, II, p. 116, v. 45). Cf. etiam Barclay V. Head, *Hist. num.*, p. 589.

315. Apolloniae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 368, n. 533.

[...... Λ]εύκιον Σερουήνι[ον Λευκίου υἱὸν | Αἰμιλίᾳ Κορνοῦ]τον...... [1].

1. L. Servenius Cornutus, aequalis Flaviorum imperatorum, memoratur in quinque titulis Acmoniensibus. Cf. *Prosop. imp. rom.*, I, p. 225, n. 404.

316. Apolloniae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 367, n. 532; cf. Anderson, *Journ. of hellen. studies*, XVIII (1898), p. 100, n. 45.

.... [πρεσβευτὴν Σεβ(αστοῦ) λε|γεῶν]ος τ[ρ]ιακο[στῆς] Ο[ὐλ]|πίας Νεικηφόρου, πρεσ|βευτὴν Σεβαστοῦ ἀντι||στράτηγον ἐπαρχείας | Γαλατίας Πισιδίας Πα|φλαγονίας, ἀνθύπατον | Πόντου καὶ Βειθυνίας [1].

1. Post Hadriani aetatem, fortasse sub Antoninis, eum Bithyniam administrasse credit Brandis (*Hermes*, 1896, p. 165).

317. Apolloniae. — Le Bas-Waddington, 747.

Τὸν ἁγνὸν | καὶ δίκαιον | ἐπίτροπον | τοῦ Σεβαστοῦ || Αὐρήλιον Ἀπολ|λώνιον [1] ἡ

βουλὴ | καὶ ὁ δῆμος Ἀπολ[λ]ωνιατῶν Λυ[κί]|ων Θρακῶν κο[λ]ωνῶν ² τὸν [ἴδι]|ον εὐεργέ[την] | ἐτείμησαν [ἀν]|δριάντι.

1. Cf. *Prosop. imp. rom.*, I, p. 196, n. 1209. — 2. Cf. supra n. 314, not.

---

318. Apolloniae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 360, n. 517.

...... καὶ σεμνο[τά]|την Αἰλίαν Ἀν|τωνεῖναν, γυ|ναῖκα Αὐρ. Ἀπολ|λωνίου, τοῦ κρα|τίστου ἐπιτρό|που τοῦ Σεβαστοῦ, | ἡ βουλὴ καὶ ὁ δῆμος Ἀπολλωνιατῶν Λυ|κίων Θρακῶν κολω|νῶν [1], τῷ τῆς ἀρετῆς | ἐτείμησαν ἀν|δριάντι.

1. Cf. supra n. 314, not.

---

319. Apolloniae. — Legrand et Chamonard, *Bull. de corr. hellén.*, XVII (1893), p. 255.

Αὐρ. Εὔφημον τρὶς | ἐφήβαρχον καὶ ἰσα|γωγέα γενόμεν[ον] τῶν μεγάλων πεν|ταετηρικῶν Και[σα]|ρήων ἀγώνων [1], ἀγω|νισάμενον καὶ | τὴν σεβαστοδώρ[η]τον πρώτην θέμιν [2] | [Α]ἴλειαν Κορνούτε[ι]|αν.... | ε....

1. Cf. Suet., *Aug.*, 59 : « *Provinciarum pleraeque super templa et aras ludos quoque quinquennales paene oppidatim constituerunt* (in honorem Augusti). » — 2. Themis sive ἀγὼν θεματικός, ludus in quo victoribus non coronae tantum et vanus honor, sed praemia pretiosa, pecuniae, etiam statuae honorariae proponebantur. Cf. Le Bas-Waddington, 1209. — Σεβαστοδώρητος, cujus imperator impensam praestiterat.

---

320. Apolloniae. — Anderson, *Journ. of hellen. studies*, XVIII (1898), p. 97.

[Ὁ] δῆμος | ἐτείμ[η]σεν Δη|μήτρι[ο]ν Ὀλυ[μ]|πίχ[ου], ἱερέα Ῥώ|μη[ς] γενόμενο[ν], πρ[ε]σβεύσαντα | [π]ρὸς τὸν Σεβασ[τ]ὸν δὶς δωρεὰν κ[α]ὶ | ἀγ[ο]ρανομήσαντα | [καὶ] γυμνασιαρχίαν | [τελ]έσαντα κατὰ | [δι]αθήκην Ὀλυμπ[ί]χου [τ]οῦ [Δ]αμᾶ τοῦ ἀνε[ψ|ι]οῦ λ[α]μπρῶς καὶ | [φιλ]οδόξως καὶ π[άσ|η]ς ἀρετῆς ἕνεκε[ν].

---

321. Apolloniae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 367, n. 531.

[Ὁ δῆμος ἐτείμησεν] | .... Ὀλύμπιχον Φιλ[όδο|ξο]ν, ἐπί τε τ[ῇ] εἰς τοὺς Σεβα[στοὺς | ε]ὐσεβείᾳ καὶ ταῖς δ[....|...α]ὐτοῦ ἀπὸ προγόν[ων καὶ | τοῦ] πατρὸς εἰς τὴν [πόλιν ἐν | ὑπ]ασιν εὐεργεσί[αις | καὶ φ]ιλοδοξίαι[ς].

322. Apolloniae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 376, n. 546.

........|..... ['Αγαθό?]|πους [..... ἱερεὺς] | τῶν Σεβασ[τῶν .....] || πόλιν ἐκ τ[ῶν ἰδίων.....]|λον εὐε[ργέτην......] | καὶ πρεσ[βευτὴν.....]|νικον κ[........ νι]|κήσαντα.....] |ας Ῥώμης .....|δος εἰς...... | πολυτε[ιμ......] | καὶ συμπ... ...|.........

---

323. Apolloniae. — Anderson, *Journ. of hellen. studies,* XVIII (1898), p. 100, n. 43.

.....ο..... | μου Γάιον Κ........|ηι εἰς τὴν ἐμ.....|.... [ἔτ]ων πέντε καὶ δ[έκα]....||..... πέντε ἔτη εἰς .....|..... εἰς τὴν ἀγορὰν κα[ὶ] ....|...οι, ἱππεῖς δὲ ῥω[μαῖοι....|..... α]ὐτῶν προσηγ[ορευμένοι? .....|..... ἐκ τῶν ἰδ]ίων κατ[εσκεύασαν] .....||.....δι....·

---

324. In vico Tchapeli, in via quae Apameam Apollonia ducit. — Ramsay, *The histor. geogr. of Asia Minor.*, p. 172.

Ὑπὲρ τῆς Αὐτοκράϊτορος Καίσαρος Θε|οῦ Τραιανοῦ Παρθι|[κοῦ υἱοῦ Θε]οῦ Ν[έρ]ουα υἱ||[ων]οῦ Τραιανοῦ Ἁδρι[α|νοῦ Σεβ]αστοῦ, ἀρχιερέ|[ως] μεγίστου, δημαρ|[χικῆς ἐξ]ουσίας τὸ ιθ' [1], ὑπάτου τὸ γ', πατρὸς πατ||[ρίδ]ος, [σωτηρ]ίας καὶ αἰων|[ίου διαμονῆ]ς αὐτοῦ τε καὶ | [τοῦ σύμ]παντος οἴκου | [αὐτ]οῦ ἡ βουλὴ καὶ ὁ | δῆμος ὁ Ἀπολλωνια||[τῶν] Λυκίων καὶ Θρα|[κῶν κολ]ώνων Θεοῖς | ['Ε]νορίοις [2].

1. Anno p. C. n. 135. — 2. Ergo Tchapeli vicus situs erat in finibus provinciae Asiae proconsularis et Galatiae.

LYCIA

ET

PAMPHYLIA

LYCIA ET PAMPHYLIA

PISIDIAE PARS MERIDIONALIS

325. Conanae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 339, n. 493.

[Αὐτοκράτορα Καίσαρα Λ. Σεπτίμιον Σευῆρο[ν Περτίνακα | Σεβαστὸν ἡ] βουλὴ καὶ ὁ δῆμος καὶ οἱ κατ[οικοῦντες Ῥωμαῖοι].

---

326. Conanae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 340, n. 475.

Καὶ τόδ' ἄγαλμα θεᾶς Μενεκράτης εἵσατο πα[τὴρ], |
χειλίαρχος στρατίης κλυτοῦ τε ἐπίτροπος ἄνακτ[ος], |
οὕνεκεν Ἀντιόχης καὶ Μαρκιανῆς ἱερειῶ[ν] |
θυγατέρων θυγατρὸς Ἀπολλωνί[δος ε]ὐπατερε[ιῶν].

---

327. Agris. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 335, n. 468.

Θεοῖς Σεβαστοῖς καὶ Διὶ Σ[ω]|τῆρι [κα]ὶ [τ]ῇ πόλει | [Μ]ενέ[μα]χος Μεν[ε]μάχου | .... ‖ [ἀν]έστησεν ἐκ τ[ῶ]ν ἰδίων ἀνα[λωμάτων καὶ καθιέρωσεν | σὺν τῇ π[ρο]δω[μ]είδι (?)[1].

1. Supplevit Sterrett dubitans.

---

328. Seleuciae Siderae. — Sitlington Sterrett, *The Wolfe expedition*, p. 334, n. 466.

Τιβέριον Κλαύδιο[ν] | Καίσαρα Σεβαστὸ[ν] Γερμανικὸν | θεὸν ἐπιφανῆ.

---

329. In vico dicto Imrohor, olim Thymbriade (?). — Sitlington Sterrett, *The Wolfe expedition*, p. 280, n. 399.

.... [Αὐτ]οκράτορος Καίσαρος Τραι|[αν]οῦ Ἁδριανοῦ Σεβαστοῦ...να | ..... [κα[τατ[ε]ταγμένον..... | ὁ δῆμος.

---

330. In vico Seïir, ripae septentrionali lacus Ascanii adjacenti. — Sitllington Sterrett, *The Wolfe expedition*, p. 414, n. 609.

Αὐρ. Μάρκος Μάρκου δὶ[ς] | κεραμεὺς κατεσκεύασα | [τ]ὸ ἡρῷον ἐμαυτῷ καὶ τῇ | [γυνα]ικί μου Αὐρ. Τατίᾳ Δι‖οδώρου καὶ [τοῖ]ς [τ]|έ[κ]νοις μου.

---

331. In vico Yari-Keuï, inter Colossas et Sagalassum. — *C. I. Gr.*, 3956 e.

[Α]ὐτοκράτορα Κ[αίσαρα | Τραιαν]ὸν [Ἁδριανὸν.....

---

332. In vico Yari-Keuï. — Ramsay, *The cities of Phrygia*, I, p. 336, n. 166.

Αὐτοκράτορι Καίσαρι Μ. Αὐρηλίῳ Ἀντωνεί[νῳ] Σεβαστῷ Ἀρμενι[ακῷ] καὶ Αὐτοκράτορι Καίσαρι Λουκίῳ Αὐρηλίῳ [Ο]ὐήρῳ Σεβαστῷ Ἀρμενιακῷ ἡ Σαγαλασσέων πόλις.

Versuum divisio non est notata.

---

333. In vico Yari-Keuï. — A. H. Smith, *Journ. of hellen. studies*, VIII (1887), p. 259.

